κατὰ στοιχεῖον δὲ καὶ ὁ πόνος οὗτος:-

ρμθ'. Ἀνεγνώσθη Πολίωνος, λεξικὸν κατὰ στοιχεῖον, ἔχει πλείστας
μὲν ποιητικὰς λέξεις. ἧττον δέ, Διογενιανοῦ εἰς τὸ δι-
πλάσιον δὲ αὐτῷ ὑπὸ ἐκείνου πραγματείας τὸ φιλοπό-
νημα ἐκτείνεται:-

ρν'. Ἀνεγνώσθη λεξικὸν Ἰουλιανοῦ τῶν παρὰ τοῖς δέκα ῥή-
τορσι λέξεων κατὰ στοιχεῖον. πολύστιχον δὲ καὶ τοῦτο τὸ βι-
δικῶν βλίον. καὶ τῶν τε παρ' Ἀθηναίοις ῥητῶν ἑρμηνεύει ἀσύνλα
ὀνόματα, καὶ ὅτι καθ' ἱστορίαν ἰδιάζουσαν αὐτοῖς
οἱ ῥήτορες παρέλαβον, ἢ κατά τι πάτριον ἔθος
ἀπεφήναντο. δῆλον δὲ ὅτι εἰς τὰς τῶν ῥητορικῶν
λόγων συναναγνώσεις τὰ μέγιστα ἡ πραγματεία
συμβάλοιτ' ἄν. εὑρήκαμεν δὲ καὶ Φιλοστράτου Τυ-
ἢ ἀδόκιμον ρίου εἰς τὴν αὐτὴν ὑπόθεσιν, οὐ δόκιμον σπούδασ-
μα. ἀλλ' ἅμα μὲν ὁ Ἰουλιανὸς εἰς τὴν αὐτὴν ὑπό-
θεσιν διεπραγματεύσατο. πλὴν Ἰουλιανῷ πλειόνων
μᾶλλον ἢ ἐλαττόνων ἐστὶ πλέον παραλιπεῖν. ὅστις
δὲ χρόνῳ τῶν δύο πρότερος ἢ ὕστερος. δοκεῖ γάρ μοι ὡς πρὸς
μεταγραφὴ θατέρῳ τὸ σπούδασμα, ἀλλ' οὐχ ἰδίᾳ
ἑκατέρῳ αὐτῶν συνελέγη. ἀλλὰ τίς ἐξ ἄλλου με-
ἔγραφε τέγραψε τέως οὐκ ἔχω λέγειν:-

ρνα'. Ἀνεγνώσθη Τιμαίου πρὸς Γετιανὸν περὶ τῶν παρὰ
ρνβ Πλάτωνι λέξεων κατὰ στοιχεῖον βραχὺ πόνημα
ἐν ἑνὶ λόγῳ. περιείχετο δὲ τῷ τεύχει καὶ
Αἰλίου Διονυσίου ἀλλὰ παρασκευῆς, ἀττικῶν ὀ-
† διεπόνησεν οὐδὲν δὲ ἧττον Ἰουλιανοῦ ἢ Διόδωρος νο—

UNIVERSITÄTS-
BIBLIOTHEK
HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
The Polonsky Foundation
© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_421/0318